τὸ κρατοῦν τῆς πόλεως, βουλευσάμενον ἃ χρὴ ποιεῖν,
γράψῃ, νόμος καλεῖται. Καὶ ἂν τύραννος οὖν κρα-
τῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις, ἃ χρὴ ποιεῖν,
καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα τύραννος ἄρχων, φά-
ναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται. Βία δὲ, 44
φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ' οὐχ ὅταν
ὁ κρείττων τὸν ἥττω μὴ πείσας, ἀλλὰ βιασάμενος
ἀναγκάσῃ ποιεῖν ὅ τι ἂν αὐτῷ δοκῇ; Ἔμοι γε δοκεῖ,
φάναι τὸν Περικλέα. Καὶ ὅσα ἄρα τύραννος μὴ πεί-
σας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία
ἐστί; Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι
γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι.
Ὅσα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς μὴ πείσαντες ἀλλὰ 45
κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν, ἢ μὴ φῶ-
μεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα,
ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γρά-
φων, εἴτε μὴ, βία μᾶλλον ἢ νόμος εἶναι. Καὶ ὅσα
ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόν-
των, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν
εἴη; Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκι- 46
βιάδη· καὶ ἡμεῖς τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα
ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα,
οἷά περ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. Τὸν δὲ
Ἀλκι-

Sed idem iam exſtat in ed. Pariſ. ὅσα ἂν Vatic. 1. Flor. B. C. E. ſed Flor. A. D. ὅσα δ' ἄν.

*γράψῃ, νόμος*] Pariſ. 1. *γράφεται*. Idem deinceps *κρατῇ* pro *κρατῶν*. Poſtea idem: *βία δὲ καὶ ἀνομία, φάναι, τί ἐστιν.*

§. 44 *δοκῇ*] Iunt. *ποιῇ*, vitioſe.

*ἀνατίθεμαι*] Vid. ad II, 4, 4. *Ern.*

§. 45. *τοῖς πολλοῖς*] Beſſario haec plane non eſt interpretatus. Stephanus, cur et vnde neſcio, induxit *τοὺς πολλούς*. Sed reuocaui ex edd. vett. et Pariſ. et Cod. Pariſ. 3 datiuum, qui rectius regitur a *γράφουσι*, quam accuſatiuus a *πείσαντες*.

*φῶμεν εἶναι*] Cod. Pariſ. 1 omittit *εἶναι*.

*μοι δοκεῖ*] Illud *μοι*, quod vitio operarum in Steph. prima exciderat, vnde in Leonclauianis aliisque idem deeſt, exſtat in edd. vett., Pariſ., Steph. ſec., apud Beſſar., et in MSS. Vindob. et Pariſ. 3, vnde recte ab Erneſto in ed. poſtrema eſt reſtauratum.

*τῶν τὰ χρήματα ἐχόντων*] Eſt periphraſis *τῶν πλουσίων*.

§. 46. *τηλικοῦτοι ὄντες*] *Cum eramus ea aetate, qua tu nunc es.* Admirare ſermonem ſenis a iuuene naſutulo in anguſtias compulſi!

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/57 gefördert von der Deutschen Forschungsgemeinschaft